UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

Cap. I. Prooemium totius libri.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

# ΣΩΚΡΑΤΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ

Ἐκκλησιαστικῆς ἱστορίας.

Τόμος α΄.

# SOCRATIS SCHOLASTICI ECCLESIASTICÆ HISTORIÆ LIBER PRIMVS.

## Κεφ. Α΄.

Τὸ τοῦ βιβλίου προοίμιον.

ΕΥΣΕΒΙΟΣ ὁ Παμφίλου ἐν ὅλοις δέκα βιβλίοις τὴν ἐκκλησιαστικὴν ἱστορίαν ἐκθέμενος, κατέπαυσεν εἰς τοὺς χρόνους τοῦ βασιλέως Κωνσταντίνου, ἐν οἷς καὶ ὁ παρὰ τοῦ Διοκλητιανοῦ κατὰ χριστιανῶν γενόμενος διωγμὸς ἀπεπαύσατο. Γράφων δὲ ὁ αὐτὸς εἰς τὸν βίον Κωνσταντίνου, τῶν κατ' Ἄρειον μερικῶς μνήμην πεποίηται, τῶν ἐπαίνων τοῦ βασιλέως, καὶ τῆς πανηγυρικῆς ὑψηγορίας τῶν λόγων μᾶλλον, ὡς ἐν ἐγκωμίῳ φροντίσας, ἢ περὶ τοῦ ἀκριβῶς περιλαβεῖν τὰ γενόμενα. Ἡμεῖς δὲ προθέμενοι συγγράψαι τὰ ἐξ ἐκείνου μέχρι τῶν τῇδε περὶ τὰς ἐκκλησίας γενόμενα, τῆς ὑποθέσεως ἀρχὴν ἐξ ὧν ἐκεῖνος ἀπέλιπε, ποιησόμεθα. οὐ φράσεως ὄγκου φροντίζοντες, ἀλλ' ὅσα ἢ ἐγγράφως εὕρομεν, ἢ παρὰ τῶν ἱστορησάντων ἠκούσαμεν διηγούμενοι. καὶ ἐπειδὴ πρὸς τὸ προκείμενον συλλαμβάνεται ἡμῖν μνημονεῦσαι, τίνα τρόπον ὁ βασιλεὺς Κωνσταντῖνος ἐπὶ τὸ χριστιανίζειν ἐλήλυθε, μικρὰ περὶ τούτου ὡς οἷόν τε μνημονεύσωμεν, ἐντεῦθεν πόθεν τὴν ἀρχὴν ποιησάμενοι.

## Caput Primum.

*Proœmium totius libri.*

A EVSEBIVS Pamphili res in Ecclesia gestas decem libris complexus, principatu Constantini Augusti historiam suam terminavit: quo tempore persecutio Diocletiani adversus Christianos finem accepit. Idem in libris, quos de vita Imperatoris Constantini conscripsit ea, quæ ad Arium pertinent, obiter tantum perstrinxit: quippe cui, ut in encomiis fieri
B solet, Imperatoris laudes & panegyricam orationem contexere magis curæ esset, quàm res gestas accurate commemorare. Nos verò quibus propositum est ea, quæ ab illis temporibus ad nostram usq; ætatem in Ecclesia gesta sunt, scriptis mandare, ab iis rebus, quas ille intactas reliquit, operis nostri sumemus exordium. Ac de inani quidem verborum pompa parum solliciti, quæcunq; aut literarum monumentis prodita reperimus, aut ab iis, qui rebus ipsis inter-
C fuerant auditu accepimus, singillatim exponemus. Et quoniam ad institutum nostrum plurimùm confert, nosse qua ratione Imp. Constantinus ad Christianam religionem transiverit, ea de re pro virili parte pauca dicam.

## Κεφ. Β΄.

Τίνα τρόπον ὁ Βασιλεὺς Κωνσταντῖνος ἐπὶ τὸ χριστιανίζειν ἐλήλυθεν.

ΗΝίκα Διοκλητιανὸς, καὶ Μαξιμιανὸς ὁ ἐπικληθεὶς Ἑρκούλιος, ἐκ συνθέματος

## Caput II.

*Quâ ratione Imp. Constantinus ad Christianam religionem se contulit.*

ORDIAR porrò ab iis temporibus, quib⁹ Diocletianus & Maximianus



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN